ρήσῃ. τότε γὰρ μάλιστα κινοῦνται, ὅταν ὀσφρανθῶσιν· ὀσφραίνονται δ', ὅταν πλησιάσωσι. ζ Διὰ τί ἐπειδὰν τεμνόμενόν τινα ἴδωμεν, ἢ καιόμενον, ἢ στρεβλούμενον, ἢ ἄλλο τι τῶν δεινῶν πάσχοντα, συναλγοῦμεν τῇ διανοίᾳ; ἢ ὅτι ἡ φύσις ἡμῖν κοινὴ ἅπασι; συνήλγησεν οὖν, ἐπειδάν τι τοιοῦτον ἴδῃ, τῷ πάσχοντι, διὰ τὴν οἰκειότητα. ἢ ὅτι ὥσπερ αἱ ῥῖνες καὶ αἱ ἀκοαὶ λαμβάνουσί τινας ἀπορροίας κατὰ τὰς οἰκείας δυνάμεις, οὕτω καὶ ἡ ὄψις αὐτὸ πάσχει, καὶ ἀπὸ τῶν ἡδέων καὶ λυπηρῶν; η Διὰ τί ἀπὸ φθίσεως καὶ ὀφθαλμίας καὶ ψώρας οἱ πλησιάζοντες ἁλίσκονται· ἀπὸ δὲ ὕδερος καὶ πυρετῶν καὶ ἀποπληξίας, οὐχ ἁλίσκονται, οὐδὲ τῶν ἄλλων; ἢ ἡ μὲν ὀφθαλμία, ὅτι εὐκινητότατον ὁ ὀφθαλμὸς, καὶ μάλιστα ὁμοιοῦται τῷ ὁρωμένῳ τῶν ἄλλων, διὸ κινεῖται ἀπὸ κινουμένου· ὥστε καὶ ἀντιβλέπων τεταραγμένῳ, ταράττεται μάλιστα; ἡ δὲ φθίσις, ὅτι πνεῦμα φαῦλον ποιεῖ καὶ βαρύ. τάχιστα δὲ τὰ νοσήματα ταῦτα ἅπτεται πάντων, ὅσα τοῦ πνεύματος φθειρομένου γίνεται, διὸ τὰ λοιμώδη. ὁ δὲ πλησιάζων, τοιοῦτον ἀναπνεῖ. νοσεῖ μὲν οὖν, ὅτι νοσώδες· ἀπὸ μόνου δὲ, ὅτι ἐκπνεῖ, νοσεῖ· οἱ δὲ ἄλλοι, ἑτέραν. τὴν αὐτὴν δὲ νόσον, ὅτι ᾧ ἂν ἀσθενήσῃ, τούτῳ ἀναπνεῖ τοιοῦτον, διὸ εἰ πεπονθὼς ἦν. ἡ δὲ ψώρα μόνον τῶν ἄλλων, διὸ λέπρας καὶ τῶν τοιούτων, ὅτι ἐπιπολῆς καὶ γλίσχρον τὸ ἀπορρέον. τὰ γὰρ κνησμώδη τοιαῦτα. διὸ αὐτὰ τῷ ἐπιπολῆς γίνεσθαι καὶ γλίσχρον εἶναι, ἅπτεται. τῶν δ' ἄλλων, τὰ μὲν οὐχ ἅπτεται, διὰ τὸ ἐπιπολῆς γίνεσθαι· τὰ δὲ ὄντα ἐπιπολῆς, ὅτι περιμένει διὰ ξηρότητα. θ Διὰ τί τὴν αἱμωδίαν παύει ἡ ἀνδράχνη καὶ ἅλες; ἢ ὅτι ἡ μὲν, ὑγρότητά τινα ἔχει; φανερὰ δὲ αὕτη μασωμένης τε, κἂν συντεθῇ χρόνον τινά· ἕλκεται γὰρ ἡ ὑγρότης. τὸ δὲ γλίσχρον εἰσδυόμενον, ἐξάγει τὸ ὀξύ. καὶ γὰρ ὅτι συγγενὴς ἡ ὀξύτης σημαίνει. ἔχει γάρ τινα ὀξύτητα ὁ χυλός. ὁ δὲ ἅλς, συντήκων, ἐξάγει τὴν ὀξύτητα.

A eminxerit: tum enim præcipuè mouentur, cum olfaciunt: olfaciunt autem posteà quàm appropinquarunt. 7 Quamobrem cùm secari quempiam, aut vri, aut torqueri, aut aliqua re tetra affici videmus, animo vicem eius doleamus? An quòd omnium communis natura humana est: ignoscimus ergo, cùm tale quippiam inspeximus, propter naturæ consortionem, & familiaritatem. An quomodo nares, &
B aures delibationes quasdam rerum obductarum pro sua facultate concipiunt, sic etiam aspectus afficitur & à re delectabili, & à tristi. 8 Cur à tabe, & lippitudine, & scabie capiuntur, qui appropinquarint: ab aqua autem intercute, aut febre, aut stupore attonito, aut aliquo ex numero cæterorum malorum capi nequeunt? An à lippitudine, quoniam oculus pars nostri corporis mobilissima est, cæterarum maximè omnium rei sibi obiectæ similis red-
C di potest, quippe qui facilè moueatur ab eo, quod moueat: itaque fit, vt cùm perturbatum obspicit oculum, facilè ipse etiam perturbetur. Tabis autem contagio ideo fit, quoniam spiritum vitiat, grauémque reddit. Celerrimè autem omnes morbis arripiuntur iis, qui spiritu corrupto proueniunt, quale est omne pestilens genus: qui autem appropinquarit, talem profectò spiritum trahit, qualem æger ille reddi-
D derit. Ægrotat igitur, quia morbiferum est, quod spiritu trahitur. Ab vno autem morbum excipit, quoniam vnus ille sic spirat cæteri secus: eundem verò, quia quo ægrotarit, hoc non aliter spirat, quàm fuerit affectus. Sed scabies magis, quàm lepra, cæteráque vitia generis eiusdem, afficere potest: quoniam per summa corporis errat, & humore maneat glutinoso: genus nanque prurientium autem tale est. Ita-
E que id ipsum quia per summa oritur, glutinosúmque est, nimirum idcirco attingere potest: cetera nequeunt, vel quia non per summa proueniunt, vel quia persistere suam ob siccitatem non possunt, quamuis per summam cutem oriantur. 9 Vtrum ptisana ordeacea leuior, & ad morbos accommodatior, quàm triticea sit? Hanc enim nonnulli anteponunt, argumentúmque ex pistoribus capiunt, quòd multò coloratiores sunt qui tritici, quàm qui ordeacei pisturam exercent. Addunt etiam quòd ordeum humidius est: quod autem humidius est, concoctionem desiderat pleniorem. Sed nihil prohibet, quò minus vt concoctu quid difficilius ordeũ habeat, sic ad leuitatem quid vtilius præstet: hoc enim non humidius tantum tritico est, sed frigidius etiam: qualis certè sorbitio, cibúsque competit febrienti, vt parum alat, & satis refrigeret, quod ptisana ordeacea facere potest: quia enim humidior, vel corpulentior est, hinc alimenti parum, idque frigidiusculum præstat.